σοι συνέταξα, [7]τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὴν κιβωτὸν τῆς δια- 7
θήκης καὶ τὸ ἱλαστήριον τὸ ἐπ᾽ αὐτῆς καὶ τὴν διασκευὴν τῆς σκη-
νῆς [8]καὶ τὰ θυσιαστήρια καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη 8
αὐτῆς καὶ τὴν λυχνίαν τὴν καθαρὰν καὶ πάντα τὰ σκεύη αὐτῆς
[9]καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ [10]καὶ τὰς στολὰς τὰς λει- 9 10
τουργικὰς Ααρων καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ ἱερατεύειν μοι
[11]καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸ θυμίαμα τῆς συνθέσεως τοῦ 11
ἁγίου· κατὰ πάντα, ὅσα ἐγὼ ἐνετειλάμην σοι, ποιήσουσιν.
[12]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [13]Καὶ σὺ σύνταξον 12 13
τοῖς υἱοῖς Ισραηλ λέγων Ὁρᾶτε καὶ τὰ σάββατά μου φυλάξεσθε·
σημεῖόν ἐστιν παρ᾽ ἐμοὶ καὶ ἐν ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν, ἵνα γνῶτε
ὅτι ἐγὼ κύριος ὁ ἁγιάζων ὑμᾶς. [14]καὶ φυλάξεσθε τὰ σάββατα, ὅτι 14
ἅγιον τοῦτό ἐστιν κυρίου ὑμῖν· ὁ βεβηλῶν αὐτὸ θανάτῳ θανατω-
θήσεται· πᾶς, ὃς ποιήσει ἐν αὐτῷ ἔργον, ἐξολεθρευθήσεται ἡ ψυχὴ
ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτοῦ. [15]ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ 15
ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ἀνάπαυσις ἁγία τῷ κυρίῳ· πᾶς, ὃς ποιή-
σει ἔργον τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, θανάτῳ θανατωθήσεται. [16]καὶ φυλά- 16
ξουσιν οἱ υἱοὶ Ισραηλ τὰ σάββατα ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐ-
τῶν· διαθήκη αἰώνιος. [17]ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ισραηλ σημεῖόν ἐστιν 17
αἰώνιον, ὅτι ἐν ἓξ ἡμέραις ἐποίησεν κύριος τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐπαύσατο καὶ κατέπαυσεν.
[18]Καὶ ἔδωκεν Μωυσεῖ, ἡνίκα κατέπαυσεν λαλῶν αὐτῷ ἐν τῷ ὄρει 18
τῷ Σινα, τὰς δύο πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμ-
μένας τῷ δακτύλῳ τοῦ θεοῦ.
[1]Καὶ ἰδὼν ὁ λαὸς ὅτι κεχρόνικεν Μωυσῆς καταβῆναι ἐκ τοῦ 32
ὄρους, συνέστη ὁ λαὸς ἐπὶ Ααρων καὶ λέγουσιν αὐτῷ Ἀνάστηθι
καὶ ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς
οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου, οὐκ οἴδαμεν,
τί γέγονεν αὐτῷ. [2]καὶ λέγει αὐτοῖς Ααρων Περιέλεσθε τὰ ἐνώτια 2
τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶν τῶν γυναικῶν ὑμῶν καὶ θυγατέρων καὶ
ἐνέγκατε πρός με. [3]καὶ περιείλαντο πᾶς ὁ λαὸς τὰ ἐνώτια τὰ χρυσᾶ 3
τὰ ἐν τοῖς ὠσὶν αὐτῶν καὶ ἤνεγκαν πρὸς Ααρων. [4]καὶ ἐδέξατο ἐκ 4
τῶν χειρῶν αὐτῶν καὶ ἔπλασεν αὐτὰ ἐν τῇ γραφίδι καὶ ἐποίησεν
αὐτὰ μόσχον χωνευτὸν καὶ εἶπεν Οὗτοι οἱ θεοί σου, Ισραηλ, οἵ-
τινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. [5]καὶ ἰδὼν Ααρων ᾠκοδό- 5

6 σοι συνεταξα] tr. A || 10 ιερατευειν] pr. εις το A || 11 εντεταλμαι A || 13 σημειον εστιν B(†)] εστ. γαρ σημ. A || 14 φυλαξασθαι(pro -θε) το σαββατον A | τουτο > A | εσται A | κυριου > A | ος] οστις A: item in 15 | αυτου] -της A || 15 τη εβδ. 2⁰] του σαββατου A | θανατω > B† || 17 εστιν] + εν εμοι B | εν 2⁰] > B*†, in *O* sub ÷ | τον] + τε AB$^{c}$ | επαυσ. .. κατεπαυσ.] tr. B† || 18 αυτω] προς αυτον A

32 1 λεγουσιν] ελεγον A† | εξ] εκ γης A || 3 ωσιν] + των γυναικων A || 4 αυτα bis] -το A | τη > A | ειπαν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/193 UNIVERSITÄT LEIPZIG